ἀπὸ τοῦ ἀνία. (θλίψις λύπη).

Ἔνια τῶν ὀνομάτων δωρικῶς κλινόμενα, μάλιστα τὰ κύρια ἢ περισπώμενα μονοσύλλαβα, ἢ πολυσύλλαβα· οἷον ὁ θωμᾶς, ὁ ἰουδᾶς, ὁ σατανᾶς. ἢ εἰς βας, πρὸ τοῦ β ἄλλο σύμφωνον ἔχοντα, καὶ μὴ ρ. οἷον ὁ σάμβας, ὁ χάμβας. ἢ χωρὶς τινὸς ἄλλου συμφώνου· οἷον ὁ ἔβας, ὁ σαβαβᾶς. ἢ εἰς γας δισύλλαβα μόνον, ἢ κύρια· οἷον ὁ μέγας, ὁ μέγας τοῦ μέγα, καὶ μεγάλου ἑτεροκλίτως ὅτε ἐπίθετον, ἢ ὑπερδισύλλαβα, καὶ μὴ περιττοσύλλαβα· οἷον ὁ σατύργας, ἢ εἰς δας δισύλλαβα, καὶ ὑπερδισύλλαβα. οἷον, ὁ λάδας, ὁ λεωνίδας· ἢ εἰς ζας, ξας, ψας, θας, καὶ· ὁ ἀρίζας, ὁ ἄζας, ὁ ἄνθας, ὁ πέλεκας, ἢ εἰς λας ἁπλᾶ δισύλλαβα μονογενῆ μὴ παραληγόμενα φύσει μακρᾷ, καὶ τὰ ὑπερδισύλλαβα δύο λλ ἔχοντα, οἷον, ὁ ὕλας, ὁ ἀτόλλας. ἢ εἰς μας ἔχοντα σύμφωνον πρὸ τοῦ μ· οἷον ὁ σίλμας, ἢ εἰς μας περσικά· οἷον ὁ σαλάμας. ἢ εἰς νας ἰσοσύλλαβα· οἷον ὁ πίνας. ἢ εἰς πας μονογενῆ· οἷον ὁ πάππας, ὁ λάμπας ἰσοσύλλαβα ὄντα. ἢ εἰς ρας μὴ ἔχοντα αην καὶ βαν συλλαβὴν ἀπὸ τοῦ αὐτοῦ συμφώνου, ἢ ἀντιστοίχου ἀρχομένην· οἷον ὁ συμμόρας, ὁ κύδρας. ἢ εἰς σας δισύλλαβα μὴ παραληγόμενα τῷ ε· οἷον ὁ χρύσας. ἢ εἰς τας ἰσοσύλλαβα· οἷον ὁ ἀρχύτας. ἢ εἰς φας δισύλλαβα ἰσοσύλλαβα· οἷον ὁ δέλφας. ἢ εἰς χας ἰσοσύλλαβα· οἷον ὁ κάλχας. ταῦτα πάντα ἰσοσυλλάβως κλινόμενα φυλάττουσι τὸ α κατὰ πάσας τὰς πτώσεις. ὡσαύτως τὰ προσηγορικὰ ὁ βορρᾶς, τοῦ βορρᾶ, ὁ πάππας, τοῦ πάππα, προσφώνησις τιμητικὴ ῥωμαίων πρὸς τὸν πατέρα· οὕτω δὲ λέγεται παρὰ συρακουσίοις ὁ πατήρ, πᾶς, καὶ κατ' ἀναδιπλασιασμὸν, καὶ πλεονασμὸν τοῦ π. πάππας τοῦ πάππα ὁ ῥώμης, ἢ ὁ ἀλεξανδρείας. Εἰσί τινα τούτων εἰς ου, καὶ α κλίνοντα· οἷον πυθαγόρα, καὶ πυθαγόρου, ἀρχύτου, καὶ ἀρχύτα, πατραλοίου, καὶ πατραλοία καὶ τὰ παραπλήσια τούτων ἀπὸ συνηθείας τινός, ἡμῖν δὲ ἀπὸ κανόνος.